# ΠΛΗΡΗΣ ΤΥΠΙΚΗ ΔΙΑΤΑΞΙΣ
# ΤΗΣ ΚΑΘ' ΗΜΕΡΑΝ ΘΕΙΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

## Ἔναρξις

Ὁ διάκονος «Εὐλόγησον, δέσποτα».

Ὁ ἱερεὺς «Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός...»

Ὁ χορὸς «Ἀμὴν» μετὰ μέλους.

Ὁ διάκονος τὴν μεγάλην συναπτὴν «Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν» κ.τ.λ., τῶν χορῶν ψαλλόντων ἐν ἑκάστῃ αἰτήσει τὸ «Κύριε, ἐλέησον».

Ὁ ἱερεὺς τὴν ἐκφώνησιν «Ὅτι πρέπει σοι πᾶσα δόξα...»

Οἱ χοροὶ «Ἀμὴν» καὶ ψάλλουσι τὰ ἑπόμενα

## Τὰ ἀντίφωνα τῆς λειτουργίας

### Ἀντίφωνον α´ (ψαλμὸς 91)

*Στίχος.* ***Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, ὕψιστε.***

*Ταῖς πρεσβείαις τῆς Θεοτόκου, σῶτερ, σῶσον ἡμᾶς.*

*Στίχος.* ***Τοῦ ἀναγγέλλειν τὸ πρωὶ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.***

*Ταῖς πρεσβείαις τῆς Θεοτόκου, σῶτερ, σῶσον ἡμᾶς.*

*Στίχος.* ***Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.***

*Ταῖς πρεσβείαις τῆς Θεοτόκου, σῶτερ, σῶσον ἡμᾶς.*

***Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.***

***Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.***

*Ταῖς πρεσβείαις τῆς Θεοτόκου, σῶτερ, σῶσον ἡμᾶς.*

***Σημείωσις.*** *τὸ α´ ἀντίφωνον, πρέπει ὁπωσδήποτε νὰ κατακλείεται μὲ τὸ Δόξα, Καὶ νῦν, ὅπως ἀκριβῶς γίνεται καὶ εἰς τὸ β´ ἀντίφωνον.*

Ὁ διάκονος Ἔτι καὶ ἔτι... κ.τ.λ.. ὁ ἱερεὺς Ὅτι σὸν τὸ κράτος...

### Ἀντίφωνον β´ (ψαλμὸς 92)

*Στίχος.* ***Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.***

*Πρεσβείαις τῶν ἁγίων σου σῶσον ἡμᾶς, Κύριε.*

Στίχος. ***Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥ τις οὐ σαλευθήσεται.***

*Πρεσβείαις τῶν ἁγίων σου σῶσον ἡμᾶς, Κύριε.*

Στίχος. ***Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.***

*Πρεσβείαις τῶν ἁγίων σου σῶσον ἡμᾶς, Κύριε.*

***Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.***

*Πρεσβείαις τῶν ἁγίων σου σῶσον ἡμᾶς, Κύριε.*

***Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.***

*Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν της ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.*

Ὁ διάκονος Ἔτι καὶ ἔτι... κ.τ.λ.. ὁ ἱερεύς Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...

## Ἀντίφωνον γʹ (ψαλμὸς 94)

*Σημείωσις. Ἡ εἴσοδος τοῦ εὐαγγελίου γίνεται ψαλλομένου τοῦ γʹ ἀντιφώνου.*

Στίχος. ***Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν.***

*Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἁγίοις θαυμαστός, ψάλλοντάς σοι ἀλληλούια.*

ἢ ἐν Κυριακῇ ψάλλομεν·

*Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι ἀλληλούια.*

Στίχος. ***Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας Κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.***

*Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...*

Στίχος. ***Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτὴν καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.***

*Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...*

Εἴσοδος μετὰ τοῦ εὐαγγελίου. ὁ διάκονος Σοφία· ὀρθοί.

### Εἰσοδικόν

Στίχος. *Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ.*

*Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἁγίοις θαυμαστός, ψάλλοντάς σοι ἀλληλούια.*

ἢ ἐν Κυριακῇ ψάλλομεν·

*Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι ἀλληλούια.*

Ἢ ἀντὶ τῶν ἀντιφώνων ψάλλονται εἰς ἦχον πλ. δ΄ τὰ τυπικὰ «Εὐλόγει ἡ ψυχή μου» καὶ «Αἴνει ἡ ψυχή μου» (ψαλμοὶ 102 καὶ 145) καὶ εἶτα ἐπακολουθοῦσιν οἱ μακαρισμοί.

## Οἱ ψαλμοὶ τῶν τυπικῶν

### Ψαλμὸς 102, ἦχος πλ. δ΄.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Εὐλογητὸς εἶ, Κύριε.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Τὸν εὐιλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.

Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.

Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.

Ποιῶν ἐλεημοσύνας ὁ Κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.

Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.

Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καθ᾽ ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνο·μίας ἡμῶν.

Καθὼς οἰκτίρει πατὴρ υἱούς, ᾠκτίρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμέν.

Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.

Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.

Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐ·τοῦ πάντων δεσπόζει.

Εὐλογεῖτε τὸν Κύριον πάντες, οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύι ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ· ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ, εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Εὐλογητὸς εἶ, Κύριε.

Ὁ διάκονος Ἔτι καὶ ἔτι... κ.τ.λ.. ὁ ἱερεὺς Ὅτι σὸν τὸ κράτος...

## Ψαλμὸς 145, ἦχος β΄.

Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι.

Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Μὴ πεποίθατε ἐπ’ ἄρχοντας καὶ ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία.

Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ.

Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ.

Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς.

Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρῖμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσι.

Κύριος λύει πεπεδημένους, Κύριος σοφοῖ τυφλούς, Κύριος ἀνορθοῖ κατερραγμένους, Κύριος ἀγαπᾶ δικαίους, Κύριος φυλάσσει τοὺς προσηλύτους.

Ὀρφανὸν καὶ χήραν ἀναλήψεται καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ.

Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ὁ διάκονος Ἔτι καὶ ἔτι... κ.τ.λ.. ὁ ἱερεύς Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...

## Οἱ μακαρισμοί, ἦχος πλ. δ′

Εἰς στίχους 12.

«Ἐν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου».

*Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.*

*Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.*

*Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.*

*Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.*

Εἰς στίχους 8.

*Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.*

*Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψον-ται.*

Εἰς στίχους 6.

*Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσον-ται.*

*Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.*

Εἰς στίχους 4.

*Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ.*

*Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.*

*Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.*

*Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

## **Εἰσοδικόν**

*Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ· σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἁγίοις θαυμαστός, ψάλλοντάς σοι ἀλληλούια.*

ἢ ἐν Κυριακῇ ψάλλομεν·

*Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ· σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι ἀλληλούια.*

Μετὰ τὴν εἴσοδον τοῦ εὐαγγελίου οἱ ψάλται λέγουσι τὰ συνήθη τροπάρια, ἤ τοι τὰ ἀπολυτίκια τῆς ἡμέρας τὰ ψαλέντα καὶ εἰς τὸ «Θεὸς Κύριος...» τοῦ ὄρθρου.

## Τροπάρια τῆς ἡμέρας

**Τῇ κυριακῇ**, τὸ ἀναστάσιμον τροπάριον τοῦ ἤχου.

**Τῇ δευτέρᾳ**, ἀπολυτίκιον, ἦχος δ΄.

Τῶν οὐρανίων στρατιῶν ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι τειχίσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας· ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς ταξιάρχαι τῶν ἄνω δυνάμεων.

**Τῇ τρίτῃ**, ἀπολυτίκιον, ἦχος β΄.

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε· ἀνεδείχθης γὰρ ὄντως καὶ προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι, κατηξιώθης τὸν κηρυττόμενον· ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ ταῖς ἐν ᾅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

**Τῇ τετάρτῃ καὶ τῇ παρασκευῇ**, ἀπολυτίκιον, ἦχος α΄.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ σταυροῦ σου πολίτευμα.

**Τῇ πέμπτῃ**, ἀπολυτίκιον, ἦχος γ΄.

Ἀπόστολοι ἅγιοι, πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Τῇ αὐτῇ ἡμέρᾳ, ἕτερον, ἦχος δ΄.

Κανόνα πίστεως καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια, πάτερ ἱεράρχα Νικόλαε· πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Τῷ σαββάτῳ**, ἀπολυτίκιον, ἦχος β΄.

Ἀπόστολοι μάρτυρες καὶ προφῆται, ἱεράρχαι ὅσιοι καὶ δίκαιοι, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ τὴν πίστιν τηρήσαντες, παρρησίαν ἔχοντες πρὸς τὸν Σωτῆρα, ὑπὲρ ἡμῶν αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Ἕτερον ἀπολυτίκιον, εἰ ἐψάλη ἀλληλούια τῷ σαββάτῳ.

Μνήσθητι Κύριε ὡς ἀγαθὸς τῶν δούλων σου, καὶ ὅσα ἐν βίῳ ἥμαρτον συγχώρησον· οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ σὺ ὁ δυνάμενος, καὶ τοῖς μεταστᾶσι, δοῦναι τὴν ἀνάπαυσιν.

Εἶτα ψάλλουσιν οἱ χοροὶ εἰς τὸ *Δόξα…*

**Τῇ κυριακῇ**, τὴν ὑπακοὴν τοῦ ἤχου.

**Τῇ δευτέρᾳ** τὸ κοντάκιον τῶν ἀσωμάτων, ἦχος βʹ.

«Ἀρχιστράτηγοι Θεοῦ, λειτουργοὶ θείας δόξης, τῶν ἀνθρώπων ὁδηγοί, καὶ ἀρχηγοὶ τῶν ἀσωμάτων, τὸ συμφέρον ἡμῖν αἰτήσασθε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν ἀσωμάτων ἀρχιστράτηγοι».

**Τῇ τρίτῃ** τὸ κοντάκιον τοῦ Προδρόμου, ἦχος βʹ. Τὰ ἄνω ζητῶν.

«Προφῆτα Θεοῦ καὶ πρόδρομε τῆς χάριτος, τὴν κάραν τὴν σὴν ὡς ῥόδον ἱερώτατον, ἐκ τῆς γῆς εὑράμενοι, τὰς ἰάσεις πάντοτε λαμβάνομεν, καὶ γὰρ πάλιν, ὡς πρότερον, ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν».

**Τῇ τετάρτῃ καὶ τῇ παρασκευῇ** τὸ κοντάκιον τοῦ Σταυροῦ, ἦχος δʹ.

«Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός· εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον».

**Τῇ πέμπτῃ** τὸ κοντάκιον τῶν ἀποστόλων, ἦχος βʹ.

«Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους κήρυκας, τὴν κορυφὴν τῶν μαθητῶν σου, Κύριε, προσελάβου εἰς ἀπόλαυσιν, τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν· τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον, ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια».

Εἰς δὲ τὸ *Καὶ νῦν…* ψάλλεται ὡς ἐπισφραγιστικὸν τὸ κοντάκιον τῆς περιόδου (τὸ προεόρτιον ἢ τῆς ἑορτῆς) ἢ τὸ κάτωθι.

**Κοντάκιον τῆς Θεοτόκου,**

λεγόμενον καθ᾽ ἑκάστην πλὴν σαββάτου, ἦχος βʹ.

«Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς· ἀλλὰ πρόφθασον ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε τῶν τιμώντων σε».

**Τῷ σαββάτῳ** τὸ μαρτυρικὸν κοντάκιον, ἦχος πλ. δʹ.

«Ὡς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως, ἡ οἰκουμένη προσφέρει σοι Κύριε, τοὺς θεοφόρους μάρτυρας· ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ βαθείᾳ τὴν Ἐκκλησίαν σου, διὰ τῆς Θεοτόκου συντήρησον πολυέλεε».

Εἰ δὲ ἐψάλη τῷ σαββάτῳ ἀλληλούια, λέγομεν τὸ ὡς ἄνω μαρτυρικὸν εἰς τὸ Δόξα, εἰς δὲ τὸ Καὶ νῦν τὸ παρὸν νεκρώσιμον κοντάκιον, ἦχος πλ. δʹ.

«Μετὰ τῶν ἁγίων ἀνάπαυσον Χριστέ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος».

Εἰ δὲ τῷ σαββάτῳ ἐψάλη δοξολογία μεγάλη, καταλιμπάνονται τὰ κοντάκια τῆς ἡμέρας καὶ ψάλλεται εἰς τὸ Καὶ νῦν ἐπισφραγιστικὸν κοντάκιον τὸ Προστασία ἢ τὸ τῆς περιόδου.

## Τὸ τρισάγιον

Ὁ διάκονος Τοῦ Κυρίου δεηθῶμεν.
Ὁ χορὸς Κύριε, ἐλέησον.
Ὁ ἱερεὺς Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν...
Ὁ χορὸς Ἀμήν.
Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ′).
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων, ἀμήν.
Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.
Δύναμις. Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

## Τὰ ἀναγνώσματα τῆς λειτουργίας

Ὁ ἀπόστολος τῆς ἡμέρας, ὡς ὁρίζεται εἰς τὸ τυπικόν. καὶ τοῦ ἀποστόλου πληρωθέντος λέγει ὁ ἱερεὺς Εἰρήνη σοι, ὁ δὲ χορὸς ψάλλει τὸ Ἀλληλούια ἐκ τρίτου.
Ὁ ἱερεὺς Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. εἰρήνη πᾶσι.
Καὶ ὁ χορὸς Καὶ τῷ πνεύματί σου.
Ὁ διάκονος Ἐκ τοῦ κατὰ (τόν δε) ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα.
Ὁ ἱερεὺς Πρόσσχωμεν.
Ὁ χορὸς Δόξα σοι, Κύριε, δόξα σοι (συντόμως).
Καὶ ἀναγινώσκεται τὸ εὐαγγέλιον τῆς ἡμέρας. πληρωθέντος τοῦ εὐαγγελίου, λέγει πρὸς τὸν διάκονον ὁ ἱερεύς· Εἰρήνη σοὶ τῷ εὐαγγελιζομένῳ.
Ὁ χορὸς μετὰ μέλους· Δόξα σοι, Κύριε, δόξα σοι.

## Ἡ ἐκτενὴς καὶ τὰ κατηχούμενα

Ὁ διάκονος τὴν ἐκτενῆ· Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς...
Ὁ χορὸς Κύριε ἐλέησον γ′.
Ὁ ἱερεὺς Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος...
Ὁ χορὸς ᾿Αμήν.
Ὁ διάκονος Εὔξασθε οἱ κατηχούμενοι τῷ Κυρίῳ... κτλ.
Ὁ ἱερεὺς Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε...
Ὁ χορὸς Ἀμήν.

Μετὰ τὴν ἐκφώνησιν «Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι» ψάλλεται εἰς τὸν ἦχον τῆς ἡμέρας

**Ὁ χερουβικὸς ὕμνος**

[Ὁ α΄ χορός.]

*Οἱ τὰ χερουβὶμ μυστικῶς εἰκονίζοντες*
*καὶ τῇ ζωοποιῷ Τριάδι*
*τὸν τρισάγιον ὕμνον προσᾴδοντες,*
*πᾶσαν νῦν βιοτικὴν ἀποθώμεθα μέριμναν,*

[Ὁ β΄ χορός.]

*Ὡς τὸν βασιλέα [........] τῶν ὅλων ὑποδεξόμενοι,*
*ταῖς ἀγγελικαῖς ἀοράτως*
*δορυφορούμενον τάξεσιν·*
*ἀλληλούια, ἀλληλούια, ἀλληλούια.*

Μετὰ τὴν εἴσοδον τῶν ἁγίων, ὁ διάκονος Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ, κτλ.

Ὁ χορὸς Κύριε, ἐλέησον.

Ὁ διάκονος Τὴν ἡμέραν πᾶσαν τελείαν... κτλ.

Ὁ χορὸς Παράσχου, Κύριε.

Ὁ ἱερεὺς ἐκφώνως Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ...

Ὁ χορὸς Ἀμήν.

Καὶ εὐθὺς ὁ ἱερεὺς Εἰρήνη πᾶσι.

Τοῦ χοροῦ ἀποκρινομένου Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

Ὁ χορὸς Πατέρα Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Εἰς συλλείτουργον. Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου· Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου.

Ὁ διάκονος Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσσχωμεν.

Καὶ ὁ ἀναγνώστης εὐλαβῶς καὶ εὐκρινῶς ἀπαγγέλλει

**Τὸ σύμβολον τῆς πίστεως**

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι᾽ οὗ τὰ πάντα ἐγένετο.

Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου καὶ ἐνανθρωπήσαντα.

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα.

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς.

Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν.

Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.

Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

Προσδοκῶ ἀνάστασιν νεκρῶν.

Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

## Τὰ λειτουργικά

Ὁ διάκονος «Στῶμεν καλῶς· στῶμεν...»

Ὁ α΄ χορὸς «Ἔλεον, εἰρήνην, θυσίαν αἰνέσεως».

Ὁ ἱερεὺς «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ...»

Ὁ β΄ χορὸς «Καὶ μετὰ τοῦ πνεύματός σου».

Ὁ ἱερεὺς «Ἄνω σχῶμεν τὰς καρδίας».

Ὁ α΄ χορὸς «Ἔχομεν πρὸς τὸν Κύριον».

Ὁ ἱερεὺς «Εὐχαριστήσωμεν τῷ Κυρίῳ».

Ὁ β΄ χορὸς «Ἄξιον καὶ δίκαιον».

Ὁ ἱερεὺς «Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα...»

Ὁ α΄ χορὸς

*Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ·*
*πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου.*
*ὡσαννὰ ἐν τοῖς ὑψίστοις·*
*εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου·*
*ὡσαννὰ ἐν τοῖς ὑψίστοις.*

Ὁ ἱερεὺς «Λάβετε, φάγετε...»

Ὁ β΄ χορὸς «Ἀμήν».

Ὁ ἱερεὺς «Πίετε ἐξ αὐτοῦ πάντες...»

Ὁ α΄ χορὸς «Ἀμήν».

Ὁ ἱερεὺς «Τὰ σὰ ἐκ τῶν σῶν...»

Ὁ β΄ χορὸς *Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν,*

*σοὶ εὐχαριστοῦμεν, Κύριε,*

*καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.*

Ὁ ἱερεὺς Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ἐν τῇ θ. λειτουργίᾳ Ἰωάννου τοῦ χρυσοστόμου,

ὁ α΄ χορὸς ψάλλει τὸ μεγαλυνάριον τῆς θεοτόκου, ἦχος πλ. β΄.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν».

Ἐν δὲ τῇ λειτουργίᾳ Βασιλείου ἀρχιεπισκόπου Καισαρείας,

ἀντὶ τοῦ *Ἄξιον ἐστὶ* ψάλλεται τὸ παρὸν κάθισμα, ἦχος πλ. δ΄.

Ἐπὶ σοὶ χαίρει κεχαριτωμένη, πᾶσα ἡ κτίσις, ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε ναὲ καὶ παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεὸς ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. Τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο· ἐπὶ σοὶ χαίρει κεχαριτωμένη, πᾶσα ἡ κτίσις, δόξα σοι.

Ὁ ἱερεὺς «Ἐν πρώτοις, μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν...»

Οἱ χοροὶ «Κύριε, ἐλέησον».

Ὁ διάκονος «Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν».

Οἱ χοροὶ «Κύριε, ἐλέησον». Ἕτερον· «Καὶ πάντων καὶ πασῶν».

Ὁ ἱερεὺς «Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ...»

Ὁ χορὸς Ἀμήν.

Ὁ ἱερεὺς «Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ...»

Οἱ χοροὶ «Καὶ μετὰ τοῦ πνεύματός σου».

Ὁ διάκονος «Πάντων τῶν ἁγίων μνημονεύσαντες...» καὶ τὰ λοιπὰ μέχρι τοῦ «Τὴν ἑνότητα τῆς πίστεως...»

Ὁ ἱερεὺς ἐκφωνεῖ «Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα...»

### Ἡ κυριακὴ προσευχή

«Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ἀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ».

Ὁ ἱερεὺς «Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...», εἶτα «Εἰρήνη πᾶσι».

Τῶν χορῶν ἀποκρινομένων «Καὶ τῷ πνεύματί σου».

Ὁ διάκονος «Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν».

Ὁ χορὸς Σοί, Κύριε.

Ὁ ἱερεὺς «Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ...»

Ὁ χορὸς Ἀμήν.

Ὁ διάκονος «Πρόσσχωμεν».

Ὁ ἱερεὺς «Τὰ ἅγια τοῖς ἁγίοις».

Ὁ χορὸς «Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. ἀμήν».

Καὶ ὁ β΄ χορὸς ψάλλει τὸ κοινωνικὸν τῆς ἡμέρας (ἢ τῆς ἑορτῆς).

## Τὸ κοινωνικὸν τῆς ἡμέρας

**Τῇ Κυριακῇ·** «Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, [αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις]· ἀλληλούια, ἀλληλούια, ἀλληλούια».

**Τῇ Δευτέρᾳ·** «Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· ἀλληλούια, ἀλληλούια, ἀλληλούια».

**Τῇ Τρίτῃ·** «Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος [ἐν Κυρίῳ]· ἀλληλούια, ἀλληλούια, ἀλληλούια».

**Τῇ Τετάρτῃ·** «Ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι· ἀλληλούια, ἀλληλούια, ἀλληλούια».

**Τῇ Πέμπτῃ·** «Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν· ἀλληλούια, ἀλληλούια, ἀλληλούια».

**Τῇ Παρασκευῇ·** «Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε· ἀλληλούια, ἀλληλούια, ἀλληλούια».

ἢ «Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς, Χριστὲ ὁ Θεὸς [ἡμῶν]· ἀλληλούια, ἀλληλούια, ἀλληλούια».

**Τῷ Σαββάτῳ·** «Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις· ἀλληλούια, ἀλληλούια, ἀλληλούια».

ἢ «Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου, Κύριε, καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν· ἀλληλούια, ἀλληλούια, ἀλληλούια».

Εἶτα ὁ διάκονος τὴν ἐκφώνησιν «Μετὰ φόβου Θεοῦ, πίστεως, καὶ ἀγάπης προσέλθετε».

Ὁ χορὸς ἢ ὁ ἀναγνώστης «Ἀμήν, ἀμήν, ἀμήν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν».

Καὶ ἀλλάσσει ὁ χορὸς τὸ κοινωνικὸν καὶ ψάλλει τὸ β´, εἰ ἔστιν· ἄλλως ἐπαναλαμβάνει τὸ αὐτό.

## Ὕμνοι ἀπολύσεως

Ὁ ἱερεύς, τῆς μεταλήψεως τελειωθείσης·
Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Καὶ ὁ α´ χορὸς ψάλλει τὸν κάτωθι ὕμνον [ἀργῶς καὶ μετὰ μέλους]·
*Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν,*
*ἐλάβομεν Πνεῦμα ἐπουράνιον,*
*εὕρομεν πίστιν ἀληθῆ,*
*ἀδιαίρετον Τριάδα προσκυνοῦντες·*
*αὕτη γὰρ ἡμᾶς ἔσωσεν.*

Ὁ δὲ ἱερεὺς [συστέλλει τὰ ἅγια καὶ εἶτα λέγει τὴν εὐχὴν «Τὸ πλήρωμα τοῦ Νόμου καὶ τῶν προφητῶν...» ἄχρι τοῦ «...καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν», τὸ δὲ τέλος] λέγει ἐκφώνως στρέφων πρὸς τὸν λαόν· «...πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων».

Μετὰ τὴν ἐκφώνησιν «Πάντοτε νῦν καὶ ἀεί», ὁ β´ χορὸς λέγει «Ἀμήν. [Εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον]» καὶ ψάλλει εὐθὺς τὸν ἑπόμενον ἀρχαῖον ὕμνον·
*Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε,*
*ὅπως ὑμνήσωμεν τὴν δόξαν σου,*
*ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν*
*τῶν ἁγίων ἀθανάτων καὶ ἀχράντων σου μυστηρίων·*
*στήριξον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ*
*ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου·*
*ἀλληλούια, ἀλληλούια, ἀλληλούια.*

***Σημείωσις.*** *Τὸ «Πληρωθήτω» ψάλλεται κατὰ τὴν τάξιν ἐν πάσῃ θείᾳ λειτουργίᾳ, τελείᾳ ἢ προηγιασμένῃ, πλὴν τῆς μεγάλης πέμπτης (ὅτε ἀντικαθίσταται ὑπὸ τοῦ ὕμνου «Τοῦ δείπνου σου τοῦ μυστικοῦ»), καὶ πλὴν τῆς κυριακῆς τοῦ πάσχα καὶ ὅλης τῆς διακαινησίμου ἑβδομάδος (ὅτε ἀντικαθίσταται ὑπὸ τοῦ «Χριστὸς ἀνέστη»).*

Λέγει ὁ διάκονος· «Ὀρθοί. μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ».

[Ὁ χορὸς «Δόξα σοι, Κύριε, δόξα σοι».]

[Καὶ ὁ ἱερεὺς τὴν εὐχὴν «Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα...» ἄχρι τοῦ «...καὶ πάντων τῶν ἁγίων σου».]

Εἶτα ὁ διάκονος «Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι».

Ὁ χορὸς «Κύριε, ἐλέησον».

Ὁ διάκονος «Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα».

Ὁ χορὸς «Σοί, Κύριε».

Ὁ ἱερεὺς τὴν ἐκφώνησιν τῆς εὐχῆς «Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν...»

## Ἡ ἀπόλυσις

Ὁ διάκονος (ἐν ἄλλοις ὁ ἱερεὺς) «Ἐν εἰρήνῃ προέλθωμεν.

[Ὁ ἀναγνώστης «Ἐν ὀνόματι Κυρίου».]

Καὶ εὐθὺς ὁ διάκονος «Τοῦ Κυρίου δεηθῶμεν».

Ὁ χορὸς «Κύριε, ἐλέησον» τρίς.

Ὁ ἱερεὺς τὴν ὀπισθάμβωνον εὐχὴν «Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε...»

Μετὰ τὴν εὐχὴν οἱ δύο χοροὶ ψάλλουσιν ἐκ τρίτου ἐναλλὰξ τὸ «Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος».

Ὁ διάκονος «Τοῦ Κυρίου δεηθῶμεν».

Ὁ χορὸς «Κύριε, ἐλέησον» τρίς.

Ὁ ἱερεὺς «Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ...» κ.τ.λ..

Ὁ χορὸς «Ἀμήν».

Ὁ ἱερεὺς ἐκφώνως «Δόξα σοι, ὁ Θεός, ἡ ἐλπίς ἡμῶν, δόξα σοι».

[Ὁ ἀναγνώστης «Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον. Εὐλόγησον».]

Καὶ ὁ ἱερεὺς ποιεῖ τὴν μεγάλην ἀπόλυσιν κατὰ τάξιν, λέγων εἰς τὸ τέλος τὸ Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν.

Οἱ χοροὶ Ἀμήν.

## Διανομὴ ἀντιδώρου

Ἐν δὲ τῇ διανομῇ τοῦ ἀντιδώρου στιχολογεῖται τὸ «Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ» (ψαλμὸς 33) [καὶ τὸ «Ὑψώσω σε, ὁ Θεός μου ὁ βασιλεύς μου» (ψαλμὸς 144)], καὶ ἀσπασάμενοι πάντες τὴν τοῦ ἱερουργοῦντος χεῖρα λαμβάνουσι σὺν τῷ ἀντιδώρῳ τὴν εὐλογίαν αὐτοῦ καὶ ἐξέρχονται εὐχαριστοῦντες τῷ Θεῷ.

## Ψαλμοὶ τοῦ τέλους τῆς λειτουργίας

Λέγονται κατὰ τὴν διανομὴν τοῦ ἀντιδώρου ἢ κατὰ τὴν ὥραν τοῦ κοινωνικοῦ.

### Ψαλμὸς 33

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.

Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου· ἀκουσάτωσαν πρᾳεῖς καὶ εὐφρανθείτωσαν.

Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου, καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐρρύσατό με.

Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Οὗτος ὁ πτωχὸς ἐκέκραξε καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.

Παρεμβαλεῖ ἄγγλεος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν, καὶ ῥύσεται αὐτούς.

Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος· μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ' αὐτόν.

Φοβήθητε τὸν Κύριον, πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.

Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.

Δεῦτε, τέκνα, ἀκούσατέ μου· φόβον Κυρίου διδάξω ὑμᾶς.

Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;

Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον.

Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν.

Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.

Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

Ἐκέκραξαν οἱ δίκαιοι καὶ Κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς.

Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.

Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος.

Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.

Θάνατος ἁμαρτωλῶν πονηρός, και οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι.

Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ᾿ αὐτόν.

## Ψαλμὸς 144

Ὑψώσω σε, ὁ Θεός μου ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καθ᾿ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Μέγας Κύριος καὶ αἰνετὸς σφόρδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας.

Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι.

Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται.

Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται.

Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλιάσονται.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος.

Χρηστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.

Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε.

Δόξαν τῆς βασιλείας σου ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλήσουσι.

Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου.

Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους.

Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.

Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῷον εὐδοκίας.

Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.

Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς.

Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει.

Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

*Ἐπιμέλεια Διονυσίου Ἀνατολικιώτου*
*σεπτέμβριος σωτηρίου ἔτους 2012*